**21** Argum. ii (Sallustii) in Soph. *Ant.* *Μίμνερμος δέ φησι τὴν μὲν Ἰσμήνην προσομιλοῦσαν Θεοκλυμένῳ ὑπὸ Τυδέως κατὰ Ἀθηνᾶς ἐγκέλευσιν τελευτῆσαι.*

**21a** Corp. proverb. in cod. Athen. 1083, ed. Kugéas, *Sitz.-Ber. bay. Ak.* 1910(4) (=*Corp. Paroem Suppl.*, 1961, V), p.15 "*ἄριστα χωλὸς οἰφεῖ*" . . . *μέμνηται τῆς παροιμίας Μίμ⟨ν⟩ερμος.*

22. DUBIUM

**22** Schol. Lyc. 610 sqq. *ἡ Ἀφροδίτη, καθώς φησι Μίμνερμος, ὑπὸ Διομήδους τρωθεῖσα παρεσκεύασε τὴν Αἰγιάλειαν πολλοῖς μὲν μοιχοῖς συγκοιμηθῆναι, ἐρασθῆναι δὲ καὶ {Ἱππολύτου} Κομήτου τοῦ Σθενέλου υἱοῦ, τοῦ δὲ Διομήδους παραγενομένου εἰς τὸ Ἄργος ἐπιβουλεῦσαι αὐτῷ· τὸν δὲ καταφυγόντα εἰς τὸν βωμὸν τῆς Ἥρας διὰ νυκτὸς φυγεῖν σὺν τοῖς ἑταίροις καὶ ἐλθεῖν εἰς Ἰταλίαν πρὸς Δαῦνον βασιλέα, ὅστις αὐτὸν δόλῳ ἀνεῖλεν.*

# OLYMPUS

*Suda* iii. 522. 21 Adler *Ὄλυμπος Μαίονος, Μυσός, αὐλητὴς καὶ ποιητὴς μελῶν καὶ ἐλεγείων.*

# PANARCES

Schol. Plat. *Resp.* 479bc e Clearcho

(*a*) ⊗ *αἶνός τίς ἐστιν ὡς ἀνήρ τε κοὐκ ἀνὴρ*
*ὄρνιθα κοὐκ ὄρνιθ' ἰδών τε κοὐκ ἰδὼν*
*ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην*